λοιπὴ ἄρα ἡ πρὸς τῷ Γ λοιπῇ τῇ πρὸς τῷ Ζ ἴση ἐστίν· ἰ-
σογώνιον ἄρα ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ·
ἐὰν ἄρα δύο τρίγωνα μίαν γωνίαν μιᾷ γωνίᾳ ἴ-
σην ἔχῃ· περὶ δὲ ἄλλας γωνίας τὰς πλευρὰς ἀνάλο-
γον· τῶν δὲ λοιπῶν ἑκατέραν ἅμα ἐλάττονα ἢ μὴ
ἐλάττονα ὀρθῆς· ἰσογώνια ἔσται τὰ τρίγωνα καὶ ἴ-
σας ἕξει τὰς γωνίας περὶ ἃς ἀνάλογόν εἰσιν αἱ πλευ-
ραί· ὅπερ ἔδει δεῖξαι:–

η′ Ἐὰν ἐν ὀρθογωνίῳ τριγώνῳ ἀπὸ τῆς ὀρθῆς γωνί-
ας ἐπὶ τὴν βάσιν κάθετος ἀχθῇ· τὰ πρὸς τῇ καθέτῳ
τρίγωνα ὅμοιά ἐστι τῷ τε ὅλῳ καὶ ἀλλήλοις· ἔστω τρί-
γωνον ὀρθογώνιον τὸ ΑΒΓ· ὀρθὴν ἔχον τὴν ὑπὸ ΒΑΓ
γωνίαν· καὶ ἤχθω ἀπὸ τοῦ Α ἐπὶ τὴν ΒΓ κάθετος ἡ ΑΔ·
λέγω ὅτι ὅμοιόν ἐστιν ἑκάτερον τῶν ΑΒΔ, ΑΔΓ τριγώ-
νων ὅλῳ τῷ ΑΒΓ καὶ ἔτι ἀλλήλοις· ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ
ὑπὸ ΒΑΓ τῇ ὑπὸ ΑΔΒ· ὀρθὴ γὰρ ἑκατέρα καὶ κοινὴ
τῶν δύο τριγώνων τοῦ τε ΑΒΓ καὶ τοῦ ΑΒΔ ἡ πρὸς τῷ Β·
λοιπὴ ἄρα ἡ ὑπὸ ΑΓΒ λοιπῇ τῇ ὑπὸ ΒΑΔ ἐστὶν ἴση·
ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΑΒΔ τριγώ-
νῳ· ἔστιν ἄρα ὡς ἡ ΓΒ ὑποτείνουσα τὴν ὀρθὴν τοῦ
ΑΒΓ τριγώνου πρὸς τὴν ΒΑ ὑποτείνουσαν τὴν ὀρθὴν
τοῦ ΑΒΔ τριγώνου· οὕτως αὐτὴ ἡ ΑΒ ὑποτείνουσα
τὴν πρὸς τῷ Γ γωνίαν τοῦ ΑΒΓ τριγώνου πρὸς τὴν ΒΔ
ὑποτείνουσαν τὴν ἴσην τὴν ὑπὸ ΒΑΔ τοῦ ΑΒΔ τρι-
ἀτΔτς: γώνου· καὶ ἔτι ἡ ΑΓ πρὸς τὴν ΑΔ ὑποτείνουσα τὴν πρὸς
τῷ Β γωνίαν κοινὴν τῶν δύο τριγώνων· τὸ ΑΒΓ ἄρα

τρίγωνον τῷ ΑΒΔ τριγώνῳ ἰσογώνιόν τέ ἐστι καὶ τὰς
περὶ τὰς ἴσας γωνίας πλευρὰς ἀνάλογον ἔχει· ὅμοιον
ἄρα ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΑΒΔ τριγώνῳ· ὁμοίως
δὴ δείξομεν ὅτι καὶ τῷ ΑΔΓ τριγώνῳ ὅμοιόν ἐστι τὸ ΑΒΓ·
ἑκάτερον ἄρα τῶν ΑΒΔ, ΑΔΓ τριγώνων ὅμοιόν ἐστιν
ὅλῳ τῷ ΑΒΓ· λέγω δὴ ὅτι καὶ ἀλλήλοις ἐστὶν ὅμοια τὰ
ΑΒΔ, ΑΔΓ τρίγωνα· ἐπεὶ γὰρ ὀρθὴ ἡ ὑπὸ ΒΔΑ ὀρθῇ
τῇ ὑπὸ ΑΔΓ ἐστὶν ἴση· ἀλλὰ μὴν καὶ ἡ ὑπὸ ΒΑΔ τῇ πρὸς
τῷ Γ ἐδείχθη ἴση· καὶ λοιπὴ ἄρα ἡ πρὸς τῷ Β λοιπῇ
τῇ ὑπὸ ΔΑΓ ἐστὶν ἴση· ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΒΔ τρί-
γωνον τῷ ΑΔΓ τριγώνῳ· ἔστιν ἄρα ὡς ἡ ΒΔ τοῦ
ΑΒΔ τριγώνου ὑποτείνουσα τὴν ὑπὸ ΒΑΔ πρὸς τὴν
ΔΑ τοῦ ΑΔΓ τριγώνου ὑποτείνουσαν τὴν πρὸς τῷ Γ
ἴσην τῇ ὑπὸ ΒΑΔ· οὕτως αὐτὴ ἡ ΑΔ τοῦ ΑΒΔ τριγώ-
νου ὑποτείνουσα τὴν πρὸς τῷ Β γωνίαν πρὸς τὴν ΔΓ
ὑποτείνουσαν τὴν ὑπὸ ΔΑΓ τοῦ ΑΔΓ τριγώνου ἴσην
τῇ πρὸς τῷ Β· καὶ ἔτι ἡ ΒΑ πρὸς τὴν ΑΓ ὑποτείνουσαι
τὰς ὀρθάς· ὅμοιον ἄρα ἐστὶ τὸ ΑΒΔ τρίγωνον τῷ ΑΔΓ
τριγώνῳ· ἐὰν ἄρα ἐν ὀρθογωνίῳ τριγώνῳ ἀ-
πὸ τῆς ὀρθῆς γωνίας ἐπὶ τὴν βάσιν κάθετος ἀχθῇ·
τὰ πρὸς τῇ καθέτῳ τρίγωνα ὅμοιά ἐστι τῷ τε ὅλῳ
καὶ ἀλλήλοις· ὅπερ ἔδει δεῖξαι:–

Πο Ἐκ δὴ τούτου φανερόν· ὅτι ἐὰν ἐν ὀρθο-
γωνίῳ τριγώνῳ ἀπὸ τῆς ὀρθῆς γω-
νίας ἐπὶ τὴν βάσιν κάθετος ἀχθῇ· ἡ
ἀχθεῖσα τῶν τῆς βάσεως τμημάτων



BIBLIOTHECA BODLEIANA